* Extat ap. Suidan in v. οἰνοπότης· in Anthol. 3 p. 277 et ap. Vrsin. p. 127.

## Ζ΄. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ *

Εὕδεις ἐν φθιμένοισιν, Ἀνάκρεον, ἐσθλὰ πονήσας·
Εὕδει δ' ἡ γλυκερὴ νυκτιλάλος κιθάρη·
Εὕδει καὶ Σμέρδις, τὸ πόθων ἔαρ· ᾧ σὺ μελίζων
Βάρβιτ' ἀνεκρέκ νέκταρ ἐναρμόνιον.
Ἠϊθέων γὰρ Ἔρωτος ἔφυς σκοπός· εἰς σὲ δὲ μοῦνον
Τόξα τὲ καὶ σκολιὰς εἶχεν ἐκηβολίας.

* Extat in Anthol. 3 p. 277: et ap Vrsin. p. 125.
3. μελίσδων Anthol. Vrsin bene.

## Η΄. ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ *

Τύμβος Ἀνακρείοντος· ὁ Τήϊος ἐνθάδε κύκνος
Εὕδει, χἡ παίδων ζωροτάτη μανίη·
Ἀκμὴν ἱμερόεντι μελίζεται ἀμφὶ Βαθύλλῳ
Ἵμερα· καὶ κισσοῦ λευκὸς ὄδωδε λίθος·
Οὐδ' Ἀΐδης σοὶ ἔρωτας ἀπέσβεσεν· ἐν δ' Ἀχέροντος
Ὢν ὅλος, ὠδίνεις Κύπριδι θερμοτέρῃ.

* Extat in Anthol. 3 p. 277: et ap. Vrsin. d. l.
3. ἀκμὴν ὁ λυρόεν Anthol. Vrsin.

## Θ΄. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΙΟΥ ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ *

Πολλάκι μὲν τόδ' ἄεισα, καὶ ἐκ τύμβοιο βοήσω,
Πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.